μητρόϲ, πρὸϲ οἴκουϲ ὥϲ νιν Αἰγέωϲ ἄγω
φίλην προϲάψαϲ χεῖρα· τοῖϲ τεκοῦϲι γὰρ
δύϲτηνοϲ ὅϲτιϲ μὴ ἀντιδουλεύει τέκνων,
κάλλιϲτον ἔρανον· δοὺϲ γὰρ ἀντιλάζυται
παίδων παρ' αὑτοῦ τοιάδ' ἂν τοκεῦϲι δῶι.

Χο. ἱππόβοτον Ἄργοϲ, ὦ πάτριον ἐμὸν πέδον, [ϲτρ. α
⟨τάδ'⟩ ἐκλύετε, τάδ' ἐκλύετε
ἄνακτοϲ ὅϲια περὶ θεοὺϲ
καὶ μεγάλα Πελαϲγίαι
καὶ κατ' Ἄργοϲ;

εἰ γὰρ ἐπὶ τέρμα καὶ τὸ πλέον ἐμῶν κακῶν [ἀντ. α
ἱκόμενοϲ ἔτι ματέροϲ
ἄμυγμα φόνιον ἐξέλοι,
γᾶν δὲ φίλιον Ἰνάχου
θεῖτ' ὀνήϲαϲ.

καλὸν ⟨δ'⟩ ἄγαλμα πόλεϲιν εὐϲεβὴϲ πόνοϲ [ϲτρ. β
χάριν τ' ἔχει τὰν ἐϲ αἰεί. τί μοι
πόλιϲ κρανεῖ ποτ'; ἆρα φίλιά μοι τεμεῖ
καὶ τέκνοιϲ ταφὰϲ ληψόμεϲθα;

ἄμυνε ματρί, πόλιϲ, ἄμυνε, Παλλάδοϲ, [ἀντ. β
νόμουϲ βροτῶν μὴ μιαίνειν. ϲύ τοι
ϲέβειϲ δίκαν, τὸ δ' ἧϲϲον ἀδικίαι νέμειϲ
δυϲτυχῆ τ' ἀεὶ πάντα ῥύηι.